# ΕΥΡΙΠΙΔΟΥ ΙΩΝ.

## ΕΡΜΗΣ.

Ἄτλας, ὁ χαλκέοισι νώτοις οὐρανὸν,
θεῶν παλαιὸν οἶκον, ἐκτρίβων, θεῶν
μιᾶς ἔφυσε Μαῖαν, ἣ 'μ' ἐγείνατο
Ἑρμῆν μεγίστῳ Ζηνὶ, δαιμόνων λάτριν.
ἥκω δὲ Δελφῶν τήνδε γῆν, ἵν' ὀμφαλὸν
μέσον καθίζων Φοῖβος ὑμνῳδεῖ βροτοῖς,
τά τ' ὄντα καὶ μέλλοντα θεσπίζων ἀεί.
ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,
τῆς χρυσολόγχου Παλλάδος κεκλημένη,
οὗ παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις
βίᾳ Κρέουσαν, ἔνθα προσβόρρους πέτρας
Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς
Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.
ἀγνὼς δὲ πατρὶ, τῷ θεῷ γὰρ ἦν φίλον,
γαστρὸς διήνεγκ' ὄγκον· ὡς δ' ἦλθεν χρόνος,
τεκοῦσ' ἐν οἴκοις παῖδ' ἀπήνεγκεν βρέφος
ἐς ταυτὸν ἄντρον οὗπερ ηὐνάσθη θεῷ
Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον
κοίλης ἐν ἀντίπηγος εὐτρόχῳ κύκλῳ,
προγόνων νόμον σώζουσα τοῦ τε γηγενοῦς
Ἐριχθονίου· κείνῳ γὰρ ἡ Διὸς κόρη
φρουρὼ παραζεύξασα φύλακε σώματος
δισσὼ δράκοντε, παρθένοις Ἀγραυλίσι
δίδωσι σώζειν. ὅθεν Ἐρεχθείδαις ἐκεῖ
νόμος τίς ἐστιν ὄφεσιν ἐν χρυσηλάτοις
τρέφειν τέκν'. ἀλλ' ἣν εἶχε παρθένος χλιδὴν
τέκνῳ προσάψασ' ἔλιπεν, ὡς θανουμένῳ.
καί μ' ὢν ἀδελφὸς Φοῖβος αἰτεῖται τάδε·

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG